Landesbibliothek Oldenburg

Digitalisierung von Drucken

Gottlieb Christophori Harles Anthologia Graeca Poetica

Harless, Adolf Gottlieb Christoph

Baruthi, MDCCXCII.

VD18 13527622

Ex Meleagri Reliqviis

urn:nbn:de:gbv:45:1-18225

Visual Library

EX MELEAGRI RELIQVIIS

CARMEN I. *)

Μῶσα φίλα, τίνι τάνδε φέρεις πάγκαρπον ἀοιδόν;
Ἢ τίς ὁ καὶ τεύξας ὑμνοθέταν στέφανον;
Ἄνυσε μὲν Μελέαγρος· ἀριζάλῳ δὲ Διοκλεῖ
Μναμόσυνον, ταύταν ἐξεπόνησε χάριν.
Πολλὰ μὲν ἐμπλέξας Ἀνύτης κρίνα, πολλὰ δὲ Μυρῆς
Λείρια, καὶ Σαπφῆς βαιὰ μὲν ἀλλὰ ῥόδα.

Νάρ-

*) Primus edidit hoc carmen *Franc. Vauaſſor* gr. et lat. in libro de epigrammate cap. 16. et ex eo *I. Alb. Fabricius* in Bibl. gr. libr. III. cap. 28. pag. 683. cum adnotationibus, qui praeter ea de poetis, in hoc carmine laudatis, diligenter egit: id quod etiam fecit *Reiske* in Notitia poetarum Anthologic. addita Anthologiae gr. a Conſtantino Cephala conditae, Lipſiae 1754. 8. qui otium mihi fecerunt. Recepi autem hoc carmen eo conſilio, vt iunioribus hiſtoria quaedam poetarum graecorum, quorum mentionem fecit Meleager, per hanc occaſionem ſimul explicaretur. Adde Hiſtoriam poeſeos graecae breuioris ab Anacreonte vsque ad Meleagrum ex Anthologia gr. adumbratam. etc. ſcripſit *Car. Gottlob Sonntag.* Lipſiae 1785. 8. Contextum receepi ex edit. inſcripta: *Meleagri reliquias. Lectionis varietatem, verſionem metricam et commentarium perpetuum adiecit I. C. F. Manſo*, Ienae 1789. m. 8. pag. 1. ſq. adde commentar. p. 91. ſqq. *Brunck.* in Anal. veterum poetarum graecorum tom. I. pag. 1. et 31. et ex Brunckii recenſione *Meinecke* in Meleagri reliquiis (Μελεάγρε τὰ σωζόμενα e recenſione Brunckii, cum commentario, Lipſiae 1788. 8.) idem et ſequens carmen reddiderunt.

Landesbibliothek Oldenburg

Νάρκισσόν τε τορῶν Μελανιππίδε ἔγκυον ὕμνων,
Καὶ νέον οἰνάνθης κλῆμα Σιμωνίδεω·
Σὺν δ' ἀναμὶξ πλέξας μυρόπνευν εὐάνθεμον ἶριν
Νοσσίδος, ἧς δέλτοις ἠρὸν ἔτηξεν Ἔρως·
Τῇ δ' ἅμα καὶ σάμψυχον ἀφ' ἡδύπνοιο Ῥιανῆς,
Καὶ γλυκὺν Ἠρίννης παρθενόχρωτα ῥόκον,
Ἀλκαίδε τε λάληθρον ἐν ὑμνοπόλοις ὑάκινθον,
Καὶ Σαμίδ δάφνης κλῶνα μελαμπέταλον·
Ἐν δὲ Λεωνίδεω θαλερὰς κισσοῖο κορύμβας,
Μνασάλκε τε κόμας ὀξυπόρε πίτυος.
Βλαισήν τε πλατάνιστον ἀπέθρισε Παμφίλε,
ὑγροῖς
Σύμπλεκτον καρύης ἔρνεσι Παγκράτεος,
Τύμνεώ τ' εὐπέταλον λεύκην, χλοερόν τε σίσυμβρον
Νικίδ, Εὐφήμε τ' ἀμμότροφον πάραλον·
Ἐν δ' ἄρα Δαμάγητον, ἴον μέλαν, ἡδύ τε μύρτον
Καλλιμάχε, συφελῆ μεσὸν ἀεὶ μέλιτος,
Αυχνίδα τ' Εὐφορίωνος, ἰδ' ἐν Μέσαισιν ἄμεινον
Ὅς Διός ἐκ κούρων ἔσχεν ἐπωνυμίην.
Τήσι δ' ἅμ' Ἡγήσιππον ἐνέπλεκε, μαινάδα βότρυν,
Πέρσε τ' εὐώδη σχῖνον ἀμησάμενος,
Σὺν δ' ἅμα καὶ γλυκὺ μῆλον ἀπ' ἀκρεμόνων Διοτίμε
Καὶ

v. 23. ἄμεινον] ἄμωμον coniecit censor eruditus in ephem. litter. Gotting. a. 1789. nr. 88.

Καὶ ῥοιῆς ἄνθη πρῶτα Μενεκράτεος,
Σμυρναίης τε κλάδης Νικαινέτης, ἠδὲ Φαέννης
Τέρμινθον, βρωτὴν τ' ἀχράδα. Σιμμίεω.
Ἐν δὲ καὶ ἐκ λειμῶνος ἀμωρήτοιο σέλινα
Βαιὰ διακνίζων ἄνθεα Παρθένιδος,
Λείψανά δ' εὐκαρπεῦντα μελισσάκτων ἀπὸ Μισῶν,
Ξανθὴς ἐκ καλάμης Βακχυλίδεω σάψας·
Ἐν δ' ἀρ' Ἀνακρείοντα, τὸ μὲν γλυκὺ κεῖνο μέλισμα
Νέκταρος, εἰς δ' ἐλέγης εὔσπορον ἀνθέμιον·
Ἐν δὲ καὶ ἐκ Φορβῆς σκολιότριχος ἄνθος ἀκανθὲς
Ἀρχιλόχης, μικρὰς σράγγας ἀπ' ὠκεανῦ·
Τὰς δ' ἅμ' Ἀλεξάνδροιο νέας ὄρπηκας ἐλαίης,
Ἠδὲ Πόλυκλείτης πορφυρέην κύανον.
Ἐν δ' ἄρ' ἀμάρακον ἧκε, Πολύσρατον, ἄνθος ἀοιδῶν,
Φοίνισσάν τε νέαν κύπρον ἀπ' Ἀντιπάτρης·
Ναὶ μὴν καὶ Συρίην σαχυότριχα θήκατο νάρδον,
Ὑμνοθέταν, Ἑρμῆ δῶρον ἀειδόμενον·
Ἐν δὲ Ποσειδιππόν τε καὶ Ἡδύλον, ἄγρι' ἀρέρης,
Σικελίδεώ τ' ἀνέμοις ἄνθεα φυόμενα·
Ναὶ μὴν καὶ χρυσείον ἀεὶ θείοιο Πλάτωνος
Κλῶνα, τὸν ἐξ ἀρετῆς πάντοθε λαμπόμενον.
Ἄξρων τ' ἴδριν Ἄρατον ὁμῆ βάλεν ἠρανομάκης
Φοίνικος κείρας πρωτογόνης ἔλικας,

Λω-

Λωτόν τ' εὐχαίτην Χαιρήμονος ἐν φλογὶ μίξας
Φαιδίμᾳ, Ἀνταγόρᾳ τ' εὔστροφον ὄμμα βοὸς,
Τόν τε φιλάκρητον Θεοδωρίδεω νεοθαλῆ
Ἔρπυλλον, κύανων τ' ἄνθεα φανίεω,
Ἄλλων τ' ἔρνεα πολλὰ νεόγραφα· τοῖς δ' ἅμα Μέσης
Καὶ σφετέρης ἔτι πᾳ πρωΐα λευκόϊα.
Ἀλλὰ φίλοις μὲν ἐμοῖσι φέρω χάριν· ἐσὶ δὲ μύσαις
Κοινὸς ὁ τῶν Μσέων ἡδυεπὴς σέφανος.

EIVSDEM CARMEN II.

Εἰς τὸ Ἔαρ Εἰδύλλιον *).

Χείματος ἠνεμόεντος ἀπ' αἰθέρος διχομένοιο,
Πορφυρέη μείδησε Φερανθέος εἴαρος ὥρη.
Γαῖα δὲ κυανέῃ χλοερὴν ἐσέψατο ποίην,
Καὶ φυτὰ θηλήσαντα νέοις ἐκόμησε πετήλοις.
Οἱ δι' ἄπαλὴν πίνοντες ἀεξιφύτᾳ δρόσον Ἠοῦς
Λειμῶνες γελόωσιν ἀνοιγομένοιο ῥόδοιο.
Χαίρει καὶ σύριγγι νομεὺς ἐν ὄρεσσι λιγαίνων,
Καὶ

*) Hoc idyllion, quod quidem elegans eſt et amoenum, ſed abundat quoque ingratis repetitionibus et imaginibus coaceruatis nec omnino exornatis, praeter Brunck. et Manſon. ſeorſim edidit gr. et lat, cum adnotationibus vberrioribus, *Albert. Chriſt. Meinecke*, Gottingae 1788. mai. 8. *Koeppen* illi locum dedit in Griechiſche Blumenleſe, part. III. p. 206. ſqq. Germanice vertit *Gedicke* in Leipz. Muſen-Almanach. 1781.

Landesbibliothek Oldenburg

Καὶ πολιοῖς ἐρίφοις ἐπιτέρπεται αἰπόλος ἀὴγῶν.
Ἤδη δὲ πλώουσιν ἐπ' εὐρέα πύματα ναῦται
Πνοιῇ ἀπημάντῳ Ζεφύρου λίνα πολπώσαντες.
Ἤδη δ' ἐυάζουσι φερεσαφύλῳ Διονύσῳ
Ἀνθεῖ βοτρυόεντος ἐρεψάμενοι τρίχα νισσῆ.
Ἔργα δὲ τεχνήεντα βοηγενέεσσι μελίσσαις
Καλὰ μέλει, καὶ σίμβλῳ ἐφήμεναι ἐργάζονται
Λευκὰ πολυτρήτοιο νεόῤῥυτα κάλλεα κηροῦ.
Πάντη δ' ὀρνίθων γενεὴ λιγύφωνον ἀείδει·
Ἀλκυόνες περὶ κῦμα χελιδόνες ἀμφὶ μέλαθρα,
Κύκνος ἐπ' ὄχθαισιν ποταμοῦ, καὶ ὑπ' ἄλσος ἀηδών.
Εἰ δὲ φυτῶν χαίρουσι κόμαι, καὶ γαῖα τέθηλε,
Συρίζει δὲ νομεὺς, καὶ τέρπεται εὔκομα μῆλα,
Καὶ ναῦται πλώουσι, Διώνυσος δὲ χορεύει,
Καὶ μέλπει πετεηνὰ, καὶ ὠδίνουσι μέλισσαι,
Πῶς ἃ χρὴ καὶ ἀοιδὸν ἐν εἴαρι καλὸν ἀείσαι;

EIVSDEM CARMEN LXXXIIII.

Κηρύσσω τὸν ἔρωτα, τὸν ἄγριον. ἄρτι γὰρ ἄρτι
Ὀρθρινὸς ἐκ κοίτας ὤχετ' ἀποπταμένος.
Ἔστι δ' ὁ παις γλυκύδακρυς, ἀείλαλος, ὠκὺς, ἀθαμβὴς,

Σι-

1. Confer ſupra *Bion.* Idyll. VIII. et *Moſchi* Idyll. I. 7. ſqq.

2. ὤχετ' ἀποπταμ.] v. ad *Theocrit.* I. 112. II. 7. et ſupra in hac Anthologia ad *Theocrit.* XI. 112. *celerrime auolauit.* Grotius vertit: *modo namque reliquit, Expandens alas, ſole oriente torum.*

Σιμὰ γελῶν, πτερόεις νῶτα, φαρετροφόρος.
Πατρὸς δ' ἀκέτ' ἔχω φράζειν τίνος· ἔτε γὰρ
Αἰθὴρ,
Οὐχθὼν φησι τεκεῖν τὸν θρασὺν, ἀ Πέλαγος.
Πάντη γὰρ καὶ πᾶσιν ἀπέχθεται. ἀλλ' ἐσορᾶτε
Μή πᾳ νῦν ψυχαῖς ἄλλα τίθησι λίνα.
Καίτοι κεῖνος, ἴδᾳ, περὶ φωλεόν. ἀ με λέληθας
Τοξότα, Ζηνοφίλας ὄμμασι κρυπτόμενος.

EIVSDEM CARMEN LXXXV.

Πωλείδω, καὶ μητρὸς ἔτ' ἐν κόλποισι καθεύδων.
Πωλείδω. τί δ' ἐμοὶ τὸ θρασὺ τῆτο τρέφειν;
Καὶ γὰρ σιμὸν ἔφυ καὶ ὑπόπτερον· ἄκρα δ' ὄνυξι
Κνείζει· καὶ κλαῖον πολλὰ μεταξὺ γελᾷ.

Πρὸς

4. σιμὰ γελῶν, *naribus diductis*, i. e. ſubdole et vafre, *ridens*.

5. Amor eſt ἀπάτωρ. v. *Theocr.* XIII. 2. et h. l. noua ratione fingitur adeo immanis, vt nec aether nec tellus nec mare ipſum eum, omnibus inuiſum, agnoſcat filium.

9. Καίτοι — φωλ.] *ſemper ad-inſidias promtus*, vertit Grotius. φωλεὸς proprie de *luſtro*, ex quo ferae rapaces exeunt praedatum. — Oculi ſunt ſedes et indices amoris. v. *Muſaeum.* 94.

1. Comp. *Moſchi* Id. I. et *Anacr.* carm. X.

3. Simae nares libidinis, atque alae leuitatis indicium.

Πρὸς δ' ἔτι λοιπὸν ἄτρεκον, ἀείλαλον, ὀξὺ δε-
δορκὸς,
Ἄγριον, ἐδ' αὐτῇ μητρὶ φίλῃ τι θασόν·
Πάντα τέρας. τόιγαρ πεπράσεται. εἴ τις ἀπό-
πλους
Ἔμπορος ὠνεῖθαι παῖδα θέλει, προσίτω.
Καίτοι λίσσετ', ἰδοῦ, δεδακρυμένος. ἔτι σε πωλῶ,
Θάρσει· Ζηνοφίλα σύντροφος ὧδε μένε.

IN ANTIPATRVM *)
MELEAGRI.

Ἄ ξάλα, σύνθημά τί σοι γοργωπὸς ἀλέκτωρ
Ἐς τὶ καλαΐνᾳ σκαπτρόφορος πτέρυγι;
Ποσσὶν ὑφαρπάζων Νίκας κλάδον· ἄκρα δ' ἐπ'
αὐτᾶς
Βαθ.

7. πάντα τερ. totum, h. e. merum prodigium.
10. Inexspectata grataque est conuersio.

*) Vixit paullo ante Ciceronis aetatem vide *Cic.* de orator. III. 50. in primis *Reiske* in notitia poetarum Anthologic. pag. 231. sqq. In ed. Mans. est carm. 124. In *Leichii* carminibus sepulcralibus est pag. 16. in *Reiskii* Anthol. gr. pag. 97. sq. *Doruille* in vanno critica p. 139.

v. 1. ἀλέκτωρ. Gallus, sceptrum sub alis, pedibus palmam gestans, talo adposito, lapidi insculptus erat, quorum signorum sensus his versibus declaratur.

v. 2. καλαΐς est gemma ex viridi pullescens, hinc καλαΐναπτέρυξ est ala, quae colorem gemmae, Calais dictae, h. e. colorem venetum s. hyacinthi caerulei exhibet. v. Doruille et Manso.

Βαθμίδος προπεσὼν κέκλιται ἀσράγαλος;
Ἦ ῥά γε νικάεντα μάχᾳ σκαπτοῦχον ἄνακτα
Κρύπτεις; ἀλλὰ τί σοι παίγνιον ἀσράγαλος;
Πρὸς δὲ, τί λιτὸς ὁ τύμβος; ἐπιπρέπει ἀνδρὶ πενιχρῷ,
Ὄρνιθος κλαγγαῖς νυκτὸς ἀνεργομένῳ;
Οὐ δοκέω· σκᾶπτρον γὰρ ἀναίνεται· ἀλλὰ σὺ κεύθεις
Ἀθλοφόρον, νίκαν ποσσὶν ἀειράμενον.
Οὐ ψάνω καὶ τῆδε· τί γὰρ ταχὺς ἔικελος ἀνὴρ
Ἀσραγάλῳ; νῦν δή τ' ὠτρεκὲς ἐφρασάμαν.
Φοῖνιξ ἁ νίκαν ἐνέπει, πάτραν δὲ, μεγαυχῆ
Ματέρα Φοινίκων τὰν πολύπαιδα Τύρον.
Ὄρνις δ' ὅττι γεγωνὸς ἀνὴρ, καὶ πᾶ περὶ Κύπριν
Πρᾶτος κ' ἦν μέσαις ποικίλος ὑμνοθέτας,
Σκᾶπτρα δ' ἔχει σύνθημα λόγᾳ· θνάσκειν δὲ πεσόντα

v. 11. ἁ ψάνω] *sed ne hac quidem via verum adsequor.* v. Mans.

v. 14. Τύρον. Tyrium dicit Antipatrum, qui Sidonius est, vt Virgilius Sidoniam Didonem, quae Tyria erat. v. *Seruius* ad Virgil. Aeneid. I. v. 617.

v. 15. Amatoria Antipatri carmina coronae suae Philippus Thessalonicensis intexuit.

v. 16. ὑμνοθ.] proprie in choris praecentor, tum quoque pro poeta vsurpatur. Sens. verb. ὄρν-ὑμνοθ. Gallus indicat Antipatrum praecelluisse voce sonante, simulque in amore feliciſſimum, et inter Musas, h. e. Musarum scientes, poetam numerosum. v. Mans.

v. 17. Mercurii caduceus eloquentiae imago a veteribus habebatur. πεσόντα v. *Valer. Maxim.* libr. 8. cap. 8

Πνεύμονας· ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖ-
σιν,
Ὦ φίλ', ἐπὶ κρατερὴν τλησιμοσύνην ἔθεσαν
Φάρμακον. Ἄλλοτε δ' ἄλλος ἔχει τόδε· νῦν
μὲν ἐς ἡμέας
Ἔτραπεθ', αἱματόεν δ' ἕλκος ἀνασχόμεν.
Ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται· ἀλλὰ τάχισα
Τλῆτε, γυναικεῖον πένθος ἀπωσάμενοι.

FRAGMENTVM ARCHILOCHI *).

Θυμὲ, θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε,
Ἄνεχε, δυσμενῶν δ' ἀλέξευ προσβαλὼν ἐναν-
τίον
Στέρνον, ἐν δοκοῖσιν ἐχθρῶν πλησίον κατα-
σχεθεὶς
Ἀσφαλῶς. Καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο,
Μηδὲ νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο.

*) In *Brunckii* Anal. I. pag. 42. n. 14. et *Koeppen* l. c. pag. 158. germanice verſum in *Herderi* zerſtreuten Blättern. part. II. pag. 193. Archilochus animum ſuum adloquitur excitatque, vt neque victoria efferatur neque fuga deprimatur.

1. κηδ. κυκ.] *malis merſus.*

3. Sens. firmiter ſta coram hoſtibus lancea armatis, nec cede.